Κλεῖε τὰ ὦτα, φασὶ, πρὸς φαύλους λόγους,
ᾨδῶν τε τερπνῶν ἐκμελῶν λιγυσμάτων.
Τοῖς δ' αὖ καλοῖσί τε, κἀγαθοῖς, ἀεὶ δίδου
Εἰπεῖν, ἀκοῦσαι, καὶ δρᾶσαι μικρὸν μέσου.
Μὴ σφόδρα δ' ὀσμῶν ἐκλύου θηλύσμασιν,
Ἀφῆς τε λειότησι, μηδὲ γλίσεσιν.
Τί ἂν ἔστ᾽ ἀνδρίζοιο τῶνδ' ἡττώμενος;
Χωρὶς γυναικῶν, κἀρρένων ἡδύσματα.
Δὸς εἶπε γαστήρ. τὴν λαβοῦσαν σωφρονῆσ.
Δώσω προθύμως. τὴν δὲ τῆς κάτω δίδως
Κόπρον λάβοις μὲν, ἀλλ' ὅμως μὴ πλουσίαν.
Εἰ δ' οὖν κατάσχοις, δώσομεν καὶ πλουσίαν.
Γέλως γέλωτος εὖ φονοῦσιν, ἄξιος.
Μάλιστα μὲν, πᾶς, τὸ πλέον δ', ὁ θρυϊκός.
Γέλως ἄκαιρος, ἐκφέρει καὶ δάκρυον.
Κρεῖσσον κατηφὲς ἦθος, ἢ τεθρυμμένον.
Κάλλος νόμιζε τὴν φρενῶν εὐκοσμίαν,
Οὐχ ἣν γράφουσι χεῖρες, ἢ λύει χρόνος.
Ὄψει δ' ὅπερ νοῦ σώφρονος γνωρίζεται.
Αἶσχος δ' ὁμοίως τὴν φρενῶν ἀκοσμίαν. Αἰ, τὴν φρενῶν ἀκοσμ…
Λῦπαι προῆλθον. ἡδοναί. θάρρη. φόβοι.
Πλοῦτος. πενία. δόξα. δύσκλεια. θρόνοι.